**223** τέττιγος ἐδράξω πτεροῦ

Luc. *Pseudolog.* 1 τὸ δὲ τοῦ Ἀρχιλόχου ἐκεῖνο ἤδη σοὶ λέγω, ὅτι τέττιγα τοῦ πτεροῦ συνείληφας, εἴπερ τινὰ ποιητὴν ἰάμβων ἀκούεις Ἀρχίλοχον, Πάριον τὸ γένος, ἄνδρα κομιδῇ ἐλεύθερον καὶ παρρησίᾳ συνόντα, μηδὲν ὀκνοῦντα ὀνειδίζειν εἰ καὶ ὅτι μάλιστα λυπήσειν ἔμελλε τοὺς περιπετεῖς ἐσομένους τῇ χολῇ τῶν ἰάμβων αὐτοῦ. ἐκεῖνος τοίνυν πρός τινος τῶν τοιούτων ἀκούσας κακῶς τέττιγα ἔφη τὸν ἄνδρα εἰληφέναι τοῦ πτεροῦ. Leo Philosophus, *Anecd. Gr.* p. 557. 25 Matranga λόγους καθ' ἡμῶν σφενδονοῦσι μακρόθεν, | τέττιγος ἐδράξαντο τοῦ πτεροῦ τάχα. Constantinus Rhodius, ib. p. 628. 36 ἐπεὶ πτερῶν τέττιγος ἐδράξω, τάλαν, | τοὐμοῦ σιγῶντος καὶ λαλεῖν πεπαυμένου | . . . | ἄκουε λοιπὸν ᾠδικὰς μουσουργίας.

**224** Ath. 388f

πτώσσουσαν ὥστε πέρδικα.

**225** Ath. 653d

πάρελθε, γενναῖος γὰρ εἶς.

**226** Phot. *lex.* s.v. λεωκόρητος

λέως γὰρ οὐδὲν ἐφρόνεον.

**227** Schol. Hom. *Od.* 15. 534

ὁ δ' Ἀσίης καρτερὸς μηλοτρόφου.

**228** Eust. in Hom. p. 1542. 48 (cf. p. 725. 38)

Θάσον δὲ τὴν τρισοιζυρὴν πόλιν.